A ὀξείας ὄν. ὡς τὸ ἐςαώς, ἑςώς. Μή μοι τότ' ἔλθῃς] παροιμία ἐπὶ μὴ συνερχομένων τοῖς φίλοις ἐν κινδύνοις. παίζει δὲ, εἰς τὸ ἐναντίον. ἡ γὰρ παροιμία. μή μοι τότ' ἔλθῃς, ὅταν ἐγὼ πράττω καλῶς. Ταλαιπώρων. ] ἐν εἰρωνείᾳ. Ω Στιλβωνίδη.] ὦ λαμπρέ. ὦ ἀπὸ βαλανείων κεκαλλωπισμένε. ἢ Στίλβωνος παῖδα. διασύρει δὲ τοῦτον ὡς παιδία ἔχοντα. Οὐκ ἔκυσας. οὐ προσεῖπας.] ὁ μὲν, τὰς τῆς γαστρὸς τρυφὰς ἐβούλετο. ὁ δὲ τὰς αἰσχρὰς ἡδονάς. προσηγάγου δὲ, ἀντὶ τοῦ πρὸς ἑαυτὸν ἔλαβες εἰς συνουσίαν. Ορχιπέδη ταῖς] ἀντὶ τῶν ὄρχεων ἥψω καὶ κατέσχες αἰσχρῶς. δειλακρίων δὲ δειλότατε κακόδαιμον. ἐν ἤθει δὲ ἢ ἄλλως λέγει. Παρὰ τὴν ἐρυθρὰν θάλασσαν] ἡ ἐρυθρὰ θάλασσα, παρὰ τὸν ἀνατολικὸν ὠκεανόν. κατὰ δὲ ἄλλους τὴν εὐδαίμονα Ἀραβίαν λέγει. Η Σαλαμινία] δύο εἰσὶ νῆες ὑπηρέτιδες παρὰ τοῖς Ἀθηναίοις ἡ Πάραλος καὶ ἡ Σαλαμινία. ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐκκαλουμένους εἰς κρίσιν ἦγεν, ἡ δὲ Πάραλος τὰς θεωρίας. ἀπῆγεν τυλέσι τὰ εἰς θυσίαν πεμπόμενα.

B
Επ. Τί οὐ τὸν Ἠλεῖον Λέπρεον οἰκίζετον;
Ελθόντ'. Ευ. ὅτι νὴ τοὺς θεοὺς ὅς οὐκ ἰδὼν
Βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.
Επ. Αλλ' εἰσὶν ἕτεροι τῆς Λοκρίδος Οπούντιοι,
Ινα χρὴ κατοικεῖν. Ευ. ἀλλ' ἔγωγ' Οπούντιος
Οὐκ ἂν γενοίμην ἐπὶ ταλάντῳ χρυσίου.
Οὗτος δὲ δὴ τίς ἐσθ' ὁ μετ' ὀρνίθων βίος.
C
Σὺ γὰρ οἶσθ' ἀκριβῶς. Επ. οὐκ ἄχαρις ἐς τὴν τριβήν.
Οὗ πρῶτα μὲν δεῖ ζῆν ἄνευ βαλαντίου.
Ευ. Πολλήν γε ἀφεῖλες τοῦ βίου κιβδηλίαν.
Επ. Νεμόμεσθα δ' ἐν κήποις τὰ λευκὰ σήσαμα.
Καὶ μύρτα. καὶ μήκωνα. καὶ σισύμβρια.
Ευ. Υμεῖς μὲν ἄρα ζῆτε νυμφίων βίον.
D
Πει. Φεῦ φεῦ.
Η μέγ' ἐνορῶ βούλευμ' ἐν ὀρνίθων γένει,
Καὶ δύναμιν ἣ γένοιτ' ἂν εἰ πείθοισθέ μοι.
Επ. τί σοι πειθώμεσθ'; Πει. ὅ,τι πείθοισθε; πρῶτα μὲν,
Μὴ περιπέτεσθε πανταχῇ κεχηνότες.
Ως τοῦτ' ἄτιμον τοὖργον ἐστὶν αὐτίκα.
Εκεῖ παρ' ἡμῖν τοὺς πετομένους ἢν ἔρῃ.
E
Τίς ἐστιν ὄρνις, ὁ Τελέας ἐρεῖ ταδί
Ανθρωπος ὄρνις ἀστάθμητος πετόμενος.
Ατέκμαρτος. οὐδὲν οὐδέποτ' ἐν ταὐτῷ μένων.
Επ. Νὴ τὸν Διόνυσον εὖγε μωμᾷ ταυταγί.
Τί ἂν οὖν ποιῶμεν; Πει. οἰκίσατε μίαν πόλιν.
Επ. Ποίαν δ' ἂν οἰκίσαιμεν ὄρνιθες πόλιν;
F

*EP. Quid non Elium Lepreum habitatis*
*Venientes? EV. Quid per Deos, qui non videns*
*Odi Lepreum è Melanthio.*
*EP. Sed sunt alij Locridis Opuntij,*
*Vbi decet habitare. Eu. Sed ego Opuntius*
*Non fiam pro talento auri.*
*Hæc autem iam quæ est cum auibus vita?*
*Tu enim scis diligenter. EP. non ingrata in exercitium,*
*Quo primùm quidem decet viuere sine crumena.*
*EV. Multam abstulisti vitæ immunditiam.*
*EP. Pascimur autem in hortis alba sesama,*
*Et myrta, & papauera, & sisymobria.*
*Ev. Vos quidem igitur quæritis sponsorum vitam?*
*PI. Heu, heu.*
*Certè magnum inspicio consilium in auium genere,*
*Et potentiam, quæ fiet si persuadebimini mihi.*
*EP. Quid tibi persuadebimur? PI. Quid persuadebimini? primùm quidem*
*Non volate, vbiq; hiantes,*
*Quod hoc inhonoratum opus est statim.*
*Illic apud nos volantes, si interrogauerit*
*Quis hic auis, Teleas dicit hæc.*
*Homo auis instabilis volans,*
*Sine signo, nihil vnquam in eodem manens.*
*EP. Per Dionysium, bene reprehendis hæc.*
*Quid igitur faciemus? PI. Habitate vnam ciuitatem.*
*EP. Qualem autem habitabimus aues ciuitatem?*

Σχόλια. Τί οὐ τὸν Ἠλεῖον Λέπρεον. ] καθ' ὕφεσιν τοῦ ι. τὸ Λέπρειον εἶπεν. ἔστι δὲ τῆς τριφυλλίας, πλησίον πολὺ τῆς Πελοποννήσου, Δίδυμος δέ φησι Λέπρεον ὠνομάσθαι, ἢ διὰ τὸ τὴν χώραν αὐτὸ λέπειν. διαφαίνονται γὰρ ἐκ τῆς ὀρεινῆς. πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας χρώματι καὶ διαλεύκους, ὁμοίας τοῖς τὰς ὄψεις λεπρῶσι. καὶ διὰ τοῦτο οὕτως ὠνομάσθαι ἐκ τοῦ πάθους. ἢ διὰ τὸ τοὺς πρώτους οἰκήσαντας τὴν πόλιν, ταύτῃ τῇ νόσῳ κατεσχῆσθαι. τοὺς οὖν πλησιοχώρους λεπρεώτας αὐτοὺς καλεῖν. τοὺς δὲ, μὴ βουλομένους δοκεῖν ἄχθεσθαι τῷ ὀνόματι, Λέπρεον τὴν πόλιν καλέσαι. οὐδετέρως γὰρ λέγεται ἡ πόλις τὸ Λέπρεον. ὁ δὲ ἀρσενικῶς εἶπεν. Ος οὐκ ἰδών.] ἀλλ' ἐξ ἀκοῆς μαθών. πλεονάζει δὲ τὸ ος. Απὸ Μελανθίου.] Μελάνθιος ὁ τραγικὸς κωμῳδεῖται λεπρὸς καὶ κακοπράγμων. κωμῳδεῖται γὰρ εἰς μαλακίαν καὶ ὀψοφαγίαν. Πλάτων δὲ αὐτὸν ἐν Σκύθαις ὡς λάλον σκώπτει. Καλλίας Παιδήταις. τίς ἄρα τοὺς Μελανθίους τῷ γνώσομαι. οὓς ἂν μάλιστα λευκοπρώκτους εἰσίδῃς. εἶχε δὲ Μελάνθιος λέπραν. ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν. Αλλ' εἰσὶν ἕτεροι.] λείπει τόποι. Οπούς δὲ πόλις Λοκρίδος. ἧς μέμνηται Ομηρος ἐν τῷ καταλόγῳ. Οπόεντά τε Καλλίαρόν τε. Αλλ' ἔγωγ' Οπούντιος.] ἐστὶν ὀκνηρὸς καὶ μονόφθαλμος. ἔπαιξεν οὖν ὅτι οὐκ ἂν γενοίμην τυφλός. ἄλλως. ὅτι ἑτερόφθαλμός τις ἦν ὅθεν οὕτω τοὺς τυφλούς φασιν. Ες τὴν τριβήν.] ἀπὸ μεταφορᾶς τῶν εὐαφῶν ἱματίων, τῶν ὑπουργούντων εἰς τρῖψιν καὶ φόρεσιν πολλοῦ χρόνου. ἄλλως. ὡς ἐπὶ ἐσθῆτος ἡ μεταφορὰ ἀντὶ τοῦ εἰς τὴν διατριβήν. Ανευ βαλαντίου.] ἀντὶ τοῦ ἄνευ ἀργυρείου καὶ δαπάνης. Κιβδηλίαν. ] τὸν ἐκ τοῦ ἀργύρου ῥύπον. μοχθηρίαν καὶ ζηλοτυπίαν. ἅμα δὲ καὶ ὅτι τὰ νομίσματα